Universitätsbibliothek Paderborn

Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

Parisiis, 1644

De ecclesiastica historа Euagrii, ex sermone quarto.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

Taraſius ſanctiſſimus patriarcha dixit: Sed conuerſus eſt dolor eius in caput eius.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀλλ' ἐπέστρεψεν ὁ πόνος αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

ANNO CHRISTI 787.

Ioannes Deo amabilis preſbyter, monachus & loci ſeruator orientalium pontificum, dixit: Verum dicendum eſt; mali mores codices incendentium ac iconas frangentium lucidiorem oſtenderunt veritatem.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· τὸ ἀληθὲς εἰπεῖν, ἡ κακοτροπία τῶν βιβλιοκαυστῶν καὶ τῶν εἰκονοκλαστῶν τρανοτέραν ἀπέδειξε τὴν ἀλήθειαν.

Taraſius ſanctiſſimus patriarcha dixit: Non ſolum ſacras iconas eraſerunt, ſed & euangelia, & alia quædam ſacra. ita enim nouit veritas perſecutionem paſſa expreſſius apparere.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οὐ μόνον τὰς ἱερὰς εἰκόνας ἔξεσαν, ἀλλὰ καὶ εὐαγγέλια, καὶ ἄλλα τινὰ ἱερά. οὕτως γὰρ οἶδεν ἡ ἀλήθεια διωκομένη τρανοτέρως φαίνεσθαι.

Stephanus monachus dixit: Adhuc & alium codicem habemus deprauatum a Chriſtianorum accuſatoribus. & ſi iubetis, hunc oſtendam vobis.

Στέφανος μοναχὸς εἶπεν· ἔτι καὶ ἑτέραν βίβλον ἔχομεν ἐπιβουλευθεῖσαν ὑπὸ τῶν χριστιανοκατηγόρων. καὶ εἰ κελεύετε, ταύτην ἐπιδείξω πᾶσιν.

Sancta Synodus dixit: Oſtendatur.

Ἡ ἁγία σύνοδος εἶπεν· δειχθήτω.

Et coram vniuerſa Synodo oſtenſus eſt habens in duabus paginis deleta.

Καὶ ἐπὶ τῆς συνόδου ἁπάσης ἐδείχθη ἔχουσα ἐν δυσὶ καταβατοῖς ἀπαλοιφάς.

Gregorius Dei cultor preſbyter & hegumenus monaſterii * Herachitii dixit: Æqualis formæ huius habeo, domini, codicem: & ſi iubetis, legatur.

* Gr. Hyacinthi

Γρηγόριος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ὑακίνθου εἶπε· τὸ ἰσότυπον αὐτοῦ ἔχω, δεσπόται, βιβλίον· καὶ εἰ κελεύετε, ἀναγνωσθήτω.

Et accipiens Stephanus monachus, & librorum cuſtos, legit.

Καὶ λαβὼν Στέφανος μοναχὸς καὶ βιβλιοφύλαξ ἀνέγνω.

De eccleſiaſtica hiſtoria Euagrii, ex † ſermone quarto.

† i. lib. 4. cap. 26.

Ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐαγρίου, ἐκ τοῦ δ'. λόγου.

Cum enim aggreſſus eſſet aduerſus ciuitatem Choſroes, millenoſque impetus operatus terram multam cumulaſſet, adeo vt muros ciuitatis excederet, nec non & alias machinas conſuiſſet, inefficacem patrabat

Μετὰ γὰρ τὸ προσβαλεῖν τῇ πόλει τὸν Χοσρόην, μυρίας τε ἐφόδους ἐργάσασθαι, χοῦν τε συναμήσασθαι πολύν, ὥστε καὶ τὰ τείχη τῆς πόλεως ὑπερπηδῆσαι, ἑτέρας τε μυρίας μηχανὰς ῥάψαι, ἄπρακτον ἐποιεῖτο τὴν ἀποπόρευσιν.

ANNO CHRISTI 787.

πρόθεσιν. λέξω δὲ τὰ γενόμενα. ἐπήγγελλεν ὁ Χοσρόης ταῖς ἀμφ' αὐτὸν δυνάμεσι ξύλων ἀθροῖσαι μέγα τι χρῆμα πρὸς τὴν πολιορκίαν τῆς προσευχούσης ὕλης. ἅπερ ἐπειδὴ συνελέγη ὀξύτερον τῆς ἐπιτάξεως, κυκλοτερῶς περιθεὶς τὸν χοῦν εἰς μέσον ἐπέβαλε, καὶ ἀντιμέτωπος τῇ πόλει ἤει. οὕτω τε κατὰ σμικρὸν ἐποικοδομῶν τοῖς ξύλοις τε καὶ τῷ χώματι, καὶ τῇ πόλει προσιὼν, τοσοῦτον εἰς ὕψος ἦρε, καὶ τὸ τεῖχος ὑπερήλατο, ὡς ἐξ ὑπερδεξίων τὰ βέλη κατὰ τῶν προκινδυνευόντων ὑπὲρ τῆς πόλεως ἐν τῷ τείχει ῥίπτειν. ἐπειδὴ τοίνυν οἱ τῇ πολιορκίᾳ συνεχόμενοι τεθέαντο τὸ χῶμα πλησίον ὥσπερ ὄρος βαδίζον ἐγγίζειν τῇ πόλει, ἐπιδόξοις τε εἶναι τοὺς πολεμίους πεζῇ τῆς πόλεως ἐπιβήσεσθαι, ἅμα ἕῳ μηχανῶνται ἀντικρὺ τοῦ χώματος, ὅπερ ἄγεστα πρὸς Ῥωμαίων κέκληται, διώρυγα ὑπὸ γῆν κατεργάσασθαι, ἔνθεν τε πῦρ ἀνεῖναι, ὡς ἂν τῇ φλογὶ τὰ ξύλα φθειρόμενα τὸν χοῦν εἰς γῆν καταγάγωσι. καὶ τὸ μὲν ἔργον ἐτετέλεστο. πυρὰς δὲ προσανάψαντες τοῦ σκοποῦ διημάρτανον, οὐκ ἔχοντος τοῦ πυρὸς διέξοδον, ὅθεν ἀέρος ἐπιλαμβανόμενον δύναιτο τῆς ὕλης περιδράξασθαι. ὡς δ' οὖν εἰς πᾶσαν ἀμηχανίαν ἦλθον, φέρουσι τὴν θεότευκτον εἰκόνα, ἣν ἀνθρώπων μὲν χεῖρες οὐκ εἰργάσαντο, Αὐγάρῳ δὲ Χριστὸς ὁ θεὸς, ἐπεὶ αὐτὸν ἰδεῖν ἐπόθει, πέπομφε. ταύτην τοίνυν τὴν παναγίαν εἰκόνα κατὰ τὴν εἰργασμένην σφίσιν εἰσαγαγόντες διώρυγα, ὕδατί τε ἐπικλύσαντες, ἀπ' αὐτοῦ κατὰ τῆς πυρᾶς καὶ τῶν ξύλων ἀφῆκαν· καὶ παραυτίκα τῆς θείας δυνάμεως τῇ πίστει τῶν δεδρακότων ἐπιφοιτησάσης, ὅπερ ἦν

regreſſum. dicam autem quæ facta ſunt. Præcipiebat Choſroes potentatibus ſuis lignorum colligere magnam quãdam ſtruem ad deuaſtationem, cuiuſque materiæ: quæ quando collectæ ſunt velocius quam præceptum fuerat, in circuitu propius ponens terram in medium iecit, & contra frontem ciuitatis ibat. Sicque paulatim ſuperædificatis lignis atque puluere, ciuitatemque adiens, tantum in altum extulit, & murum exceſſit, vt ſuperius ſagittæ contra eos qui pro ciuitate perituri erant in muro, iaci viderentur. Igitur quando hi qui depopulationem patiebantur, terram videbant prope quaſi montem proficiſcentem vrbi appropiare, * glorioſoſque hoſtes exiſtere, & ſimiliter ciuitatem pedites ingreſſuros, vltro machinantur ex aduerſo terræ congeriei, quæ apud Romanos agger appellatur, foſſam ſubtus, * quam fodientes hinc terram fecerunt, vt flammis ligna incenſa aggerem ad terram deponerent. Et opus quidem conſummatum eſt. aggerem autem ſuccendentes conſilio defraudati ſunt, non habente igne progreſſionem, vnde aere recepto materiam conſumere poſſet. Cum ergo in omnem defectionem deueniſſent, deferunt diuinitus fabricatam iconam, quam hominum quidem manus non operatæ ſunt: Abagaro autem Chriſtus Deus, quoniam eum videre geſtiebat, tranſmiſit. Hanc igitur ſanctiſſimam imaginem per effoſſioné quam ſibi operati ſunt, intromittentes, & aqua perfundentes, * ab ea contra rogum & ligna dimiſerunt. & ſtatim diuina virtus fidei operantium adfuit, & quod prius

* *Gr.* eſſeque in eo hoſtes, vt ciuitatem pedites ingrederentur, prima luce machinantur.

* ducere, & inde ignem emittere: vt flammis

* *Gr.* ex ea rogum & ligna reſperſerunt.

erat illis impoſſibile, perficiebatur. continuo quippe receperūt flammam ligna,* & verbo confeſtim in prunas verſa ſuperioribus impartiebantur, omnia igne hinc & inde porrigente.

* *Gr.* & dicto citius in prunas verſa ſup. impo. i. depaſcente.

Leo reuerendiſſimus lector magnæ eccleſiæ regiæ Conſtantinopoleos dixit: Et ego indignus ſeruus veſter, cum deſcendiſſem ad Syriam cum regiis apocriſiariis, fui Edeſſæ, & ſacram ac non manufactam iconam vidi a fidelibus honorari pariter & adorari.

Taraſius ſanctiſſimus patriarcha dixit: Heſterno die reuerendiſſimus hegumenus Maximini codicem paradiſi amœniſſimi Limonarii protulit, & lectus eſt: & reperimus & nos in bibliotheca exemplar eiuſdem Limonarii inciſa habens folia, in quibus de imaginibus ſcripta iacuerant.

Chriſtophorus ſanctiſſimus epiſcopus ſanctæ Cyriacæ dixit: Sanctiſſime domine, indignus ſeruus præſumam loqui coram ſancta & ſacra atque vniuerſali hac Synodo. Propheticus ſermo eſt, quia *in operibus manuum ſuarum comprehenſus eſt peccator*. Quod enim putabant aduerſus nos facere in pſeudoſyllogo illo collecti, hoc aduerſus eos factum eſt. Et quædam quidem inciderunt, quædam vero falſauerunt, vt manifeſtata veritate arguantur impietates eorum.

Pſalm. 9.

Stephanus monachus & librorum cuſtos dixit: Codex datus ab hegumeno Maximini, continens ſermonem qui falſatus eſt in altero codice qui eſt de iconis.

ἐκείνοις πρώην ἀδύνατον, ἐξηνύετο. παραυτίκα γὰρ εἰσεδέξατο τὴν φλόγα τὰ ξύλα, καὶ λόγου θᾶττον ἀπανθρακωθέντα τοῖς ὑπερτέροις μετεδίδοσαν, ἅπαντα τοῦ πυρὸς ἀμφινεμομένου.

ANNO CHRISTI 787.

Λέων ὁ εὐλαβέστατος ἀναγνώστης τῆς μεγάλης ἐκκλησίας τῆς βασιλίδος Κωνσταντινουπόλεως εἶπε· κἀγὼ ὁ ἀνάξιος ὑμῶν δοῦλος, ἡνίκα κατέβην εἰς Συρίαν μετὰ τῶν βασιλικῶν ἀποκρισιαρίων, ἐγενόμην ἐν Ἐδέσσῃ, καὶ τὴν ἱερὰν καὶ ἀχειροποίητον εἰκόνα τεθέαμαι ὑπὸ πιστῶν τιμωμένην τε καὶ προσκυνουμένην.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· κατὰ τὴν χθὲς ἡμέραν ὁ εὐλαβέστατος ἡγούμενος τῶν Μαξιμίνου τὸ Λειμωνάριον ἐξήνεγκε, καὶ ἀνεγνώσθη· καὶ εὕρομεν καὶ ἡμεῖς ἐν τῇ βιβλιοθήκῃ τὸ ἴσον τοῦ αὐτοῦ Λειμωναρίου, τετμημένα ἔχον τὰ φύλλα, ἐν οἷς τὰ περὶ εἰκόνων ἔκειντο.

Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς ἁγίας Κυριακῆς εἶπε· πανάγιε δέσποτα, ὁ ἀνάξιος δοῦλος τολμήσω λαλῆσαι ἐπὶ τῆς ἁγίας καὶ ἱερᾶς καὶ οἰκουμενικῆς ταύτης συνόδου. προφητικὸς λόγος ἐστὶν, ὅτι ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. ὃ γὰρ προσεδόκων καθ᾽ ἡμῶν ποιεῖν ἐπὶ τῆς ψευδοσυλλόγου ἐκείνης συρρυέντες, τοῦτο καθ᾽ ἑαυτῶν γέγονε. καὶ τὰ μὲν ἔκοψαν, τὰ δὲ ἐφάλσευσαν· ἵνα τῆς ἀληθείας φανερουμένης ἐλεγχθῇ ἡ ἀσέβεια αὐτῶν.

Στέφανος μοναχὸς καὶ βιβλιοφύλαξ εἶπε· βίβλος ἐπιδοθεῖσα παρὰ τοῦ ἡγουμένου τῶν Μαξιμίνου, περιέχουσα τὸν λόγον τὸν φαλσευθέντα εἰς τὸ ἄλλο βιβλίον τὸ περὶ εἰκόνων.

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

ANNO CHRISTI 787.

Καὶ ἀνέγνω ὁ αὐτὸς Στέφανος.

Ἐκ τοῦ Λειμωναρίου.

Ἔλεγόν τινες τῶν γερόντων, ὅτι ἦν τις ἔγκλειστος εἰς τὸ ὄρος τῶν ἐλαιῶν ἀγωνιστὴς πάνυ. ἐπολέμει δὲ αὐτὸν δαίμων τῆς πορνείας. ἐν μιᾷ οὖν, ὡς ἐπέκειτο αὐτῷ σφοδρῶς, ἤρξατο ὁ γέρων ἀποδύρεσθαι, καὶ λέγειν τῷ δαίμονι· ἕως πότε οὐκ ἐνδίδως μοι; ἀπόστα λοιπὸν ἀπ᾽ ἐμοῦ, συνεγήρασάς μοι. φαίνεται αὐτῷ ὁ δαίμων ὀφθαλμοφανῶς λέγων· ὄμοσόν μοι, ὅτι οὐδενὶ λέγεις ὃ μέλλω σοι εἰπεῖν, καὶ οὐκέτι σε πολεμῶ. ὤμοσεν αὐτῷ ὁ γέρων· ὅτι μὰ τὸν ἐνοικοῦντα ἐν τοῖς ὑψίστοις, οὐκ εἴπω τινί, ἅπερ εἴπῃς μοι. τότε λέγει αὐτῷ ὁ δαίμων· μὴ προσκυνήσῃς ταύτῃ τῇ εἰκόνι, καὶ οὐκέτι σε πολεμῶ. εἶχε δὲ ἡ εἰκὼν ἐκτύπωμα τὴν δέσποιναν ἡμῶν τὴν ἁγίαν Μαρίαν τὴν θεοτόκον, βαστάζουσαν τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν. λέγει ὁ ἔγκλειστος τῷ δαίμονι· ἄφες σκέψωμαι. τῇ οὖν ἐπαύριον δηλοῖ τῷ ἀββᾷ Θεοδώρῳ τῷ Αἰλιώτῃ οἰκοῦντι τότε ἐν τῇ Λαύρᾳ Φαρῶν, καὶ διηγεῖται αὐτῷ ἅπαντα. ὁ δὲ γέρων λέγει τῷ ἐγκλείστῳ· ὄντως ἀββᾶ ἐνεπαίχθης, ὅτι ὤμοσας τῷ δαίμονι, πλὴν καλῶς ἐποίησας ἐξειπών. συμφέρει δέ σοι μὴ ἐᾶσαι ἐν τῇ πόλει ταύτῃ πορνεῖον, εἰς ὃ μὴ εἰσέρχῃ, ἢ ἵνα ἀρνήσῃ τὸ προσκυνεῖν τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν τὸν Χριστὸν μετὰ τῆς αὐτοῦ μητρός. στηρίξας οὖν αὐτὸν καὶ ἐνδυναμώσας πλείοσι λόγοις, ἀπῆλθεν εἰς τὸν ἴδιον τόπον αὐτοῦ. φαίνεται πάλιν ὁ δαίμων τῷ ἐγκλείστῳ, καὶ λέγει αὐτῷ· τί ἔνι κακόγηρε; οὐκ ὤμοσάς μοι, ὅτι οὐδενὶ λέγεις; καὶ πῶς πάντα ἐξεῖπας τῷ ἐλθόν-

Et legit idem Stephanus monachus & librorum cuſtos.

Ex eodem Limonario.

Dicebant quidam ſeniorum, quia erat quidam incluſus in monte oliueti decertator maximus. impugnabat autem eum dæmon fornicationis. Quadam ergo die cum ei valide imminerct, cœpit ſenior lamentari & dicere dæmoni: Vſquequo non parcis mihi? recede iam a me, conſenuiſti mihi. Apparet autem ei dæmon euidenter dicens: Iura mihi, quod nemini dicas quod tibi dicturus ſum, & te vlterius non impugnabo. Iurauit ei ſenex, quia per eum qui habitat in excelſis, non dicam cuiquam quæ mihi dixeris. Tunc dixit ei dæmon: Ne adores hanc iconam, & te vltra non impugnabo. Habebat autem imago figurationem dominæ noſtræ ſanctæ Mariæ Dei genitricis portantis Dominum noſtrum Ieſum Chriſtum. Dicit incluſus dæmonio: Sine tractem. In craſtino autem indicat hoc abbati Theodoro Æliotæ, qui habitabat tunc in Laura Pharenſium; & enarrat ei omnia. At vero ſenior incluſo dixit: Abba vere illuſus es, quia iuraſti dæmonio. verumtamen bene feciſti hoc dicendo. Porro expedit tibi, vt non dimittas in hac ciuitate ſcortum, ad quod non ingrediaris, quam vt recuſes adorare Dominum noſtrum Ieſum Chriſtum cum matre ipſius. Confirmato ergo eo & confortato plurimis verbis, abibat ad proprium locum ſuum. Apparet iterum dæmon incluſo, & dicit ei: Quid eſt male ſenex? nonne iuraſti mihi quod nemini diceres? & quomodo cuncta dixiſti venienti